## 18 IULIE
## ANTONIOS MARKOU

# PARACLISUL SF.MUCENIC EMILIAN DE LA DUROSTORUM




## PARACLISIERUL PE IULIE-GR


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Παρακλητικός Κανών
# Μάρτυρος ΑΙΜΙΛΙΑΝΟΥ τοῦ ἐκ Ῥοδοστόλου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄(142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά παρόντα Τροπάρια. Ἦχος δ΄.
Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τῷ ἀληθείας Χριστοῦ στρατιώτῃ,* αὐθέντου δοῦλον, πλήν Κυρίου τῷ δούλῳ,* τό Ῥοδοστόλου καύχημα, στεῤῥῷ ἀθλητῇ,* δεῦτε καί προσπέσωμεν* μετ' εὐλαβείας βοῶντες,* σαῖς εὐχαῖς ἐλέησον* τούς φλογῇ καιομένους* ἀποστασίας πνεύματος δεινῆς,* ἵνα τιμῶμεν* τά σά, Μάρτυς, μνημόσυνα.

Δόξα. Ὅμοιον.

Τόν τῆς Μοισίας εὐγενέστατον γόνον,* τόν Ῥοδοστόλου ἁγιάσαντα χθόνα,* τό Παραβάτου θῦμα ἐθελούσιον,* δεῦτε εὐφημήσωμεν,* ἐλέησον ἐκβοῶντες* τούς παραπικραίνοντας* τόν Θεόν ἀπιστίᾳ* καί εἰς τάς ἄνω ὁδήγησον μονάς* καί μετανοίᾳ* ἡμᾶς χειραγώγησον.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,* τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι·* εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα,* τίς ἡμᾶς ἐῤῥύσατο* ἐκ τοσούτων κινδύνων;* Τίς δὲ διεφύλαξεν,* ἕως νῦν ἐλευθέρους;* Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ·* Σοὺς γὰρ δούλους σώζεις ἀεί,* ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· *ΑΙΜΙΛΙΑΝῼ ΡΟΔΟΣΤΟΛΟΥ ΔΕΗΣΙΣ. ΑΝΤΩΝΙΟΥ.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἀληθείας, ὦ φίλοι, τῷ ἐραστῇ* καί ὁμολογίας* διά βίου τῷ τιμητῇ,* Αἰμιλιανῷ τῷ Μάρτυρι Μοισίας,* οἱ πυρούμενοι πάθεσι σπεύσωμεν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἴασιν σωμάτων τε καί ψυχῶν* παράσχου τοῖς ὅσοι* τῷ λειψάνῳ σου τῷ σεπτῷ* προστρέχουσι ἐν Βουκουρεστίῳ,* εἰς Κωνσταντίνου ναόν πανσεβάσμιον.

Δόξα.

Μάχῃ κατά τοῦ πλάνου ἐπιτυχών,* νίκας νῦν χαρίζεις* τοῖς τρυχωμένοις ὑπό παθῶν·* διό ἡμᾶς ῥῦσαι, θεοφόρε,* ἀπό παθῶν τῶν ψυχοφθόρων πρεσβείαις σου.

Καί νῦν. Θεοτοκίον.

Ἴδε τόν ἐνυπάρχοντα ἐν δεσμοῖς* σαρκός σκιρτημάτων,* καί ἀπάλλαξον, Μαριάμ,* δεσμῶν τῶν ἐκεῖσε, Θεοτόκε,* εὐχαῖς ἁγίαις, σεπτή μεσιτείᾳ Σου.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Λώβην ὄφεως, Μάρτυς,* ἐν τῇ σαρκί φέροντι,* παθῶν ἰοβόλων ταμεῖον* ὁ τάλας πέφυνα,* πλήν σύ μοί δώρησαι* ἀπαλλαγήν ἀπό τούτων,* τό ἁγιότητος* ταμεῖον ἄριστον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἰός τῆς ἁμαρτίας* τήν ὀδύνην ἐπέφερε,* τοῖς μετά τήν πτῶσιν ἀνθρώποις,* πλήν σύ θεράπευσον,* ὡς τῶν βασάνων λαβών* ἐν σώματι τήν πεῖραν·* διό πασχόντων πύρωσιν* σβέσον καί δρόσισον.

Δόξα.

Ἀπό παθῶν ὀλεθρίων* ἡμᾶς ἀγάπῃ σου κάλυψον,* ὡς καί σωφροσύνης καλύπτρᾳ·* ψυχήν δέ στέγασον* ἐν

ἀπαθείας σκεπῇ, * αὐτῆς δέ Μάρτυς, τήν δρόσον* σοῖς δούλοις ἐπέχεε,* ὡς συμπαθέστατος.

Καί νῦν. Θεοτοκίον.

Ναόν, Παρθένε, μολύνας* τόν τοῦ σώματος πάθεσι,* Σοί τῇ Μητρί τοῦ Κυρίου* ἔνδακρυς ἔρχομαι* ῥῦσαι δεόμενος* τοῦ Μάρτυρος πρεσβείᾳ* βασάνου κολάσεως αἰωνιζούσης με.

Διάσωσον* ἀπὸ παθῶν τούς δούλους σου, θεῖε Μάρτυς,* ὅτι πάντες οἱ ἐν δεινοῖς πρὸς σὲ καταφεύγομεν,* ὡς ἔχοντα πρὸς Θεὸν παῤῥησίαν.

Ἐπίβλεψον* ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,* ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν* καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Αἰμιλιανέ,* τοῦ Ῥοδοστόλου κόσμημα*, δυσώπει Χριστόν,* λυτροῦσθαι πάσης πτώσεως,* τούς πίστει σέ γεραίροντας* καὶ πταισμάτων διδόναι συγχώρησιν* καὶ ἐκ παθῶν νοός ἀπαλλαγήν,* τοὺς σπεύδοντας, Μάρτυς,* τῇ πρεσβείᾳ σου.

Ὠδή δ'. Εἰσακήκοα Κύριε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὢ καί πῶς κατεῤῥύπωσα* τῆς ψυχῆς μου Κύριε, τό χιτώνιον,* πλήν πρεσβείαις τοῦ ἱκέτου Σου* Αἰμιλιανοῦ Σύ ἀποκάθαρον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ῥῶσιν δίδου μοι, Ἅγιε,* ψυχῆς μου δέ θεραπεύον τραύματα,* τῇ δυνάμει τῇ δοθείσῃ σοι,* είς ἀντίδοσιν τῶν θείων παλαισμάτων σου.

Δόξα.

Ὅλος, Μάρτυς, ἀπόλλυμι,* πάθεσιν ὀλεθρίοις ὀλύμενος·* διό ἀνώρθωσον τόν κράζοντα* Αἰμιλιανέ, ἴδε τόν δοῦλον σου.

Καί νῦν. Θεοτοκίον.

Διαβόλου, Μητρόθεε,* ἀπό ῥύπου ψυχήν μου κάθαρον* τοῦ προσκλαίοντος καί τάλαινος,* Αἰμιλιανοῦ τῇ πρεσβείᾳ Σοῦ θεράποντος.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὅλον με Πατρί,* διά Πνεύματος Ἁγίου Σου* ἐπισύναψον, ἁγνότητι Χριστέ,* ἐκκαθάρας* τῇ πρεσβείᾳ τοῦ Ἀθλοφόρου Σου.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Σῶσαι Σόν λαόν* τῇ πρεσβείᾳ τοῦ Ἁγίου Σου,* τῆς φαυλότητος τόν ῥῦπον καί παθῶν* τῶν γηΐνων διαλύον τήν σκοτόμαιναν.

Δόξα.

Τοῦτον τόν λαόν* τῷ ἐν βάθει κατακείμενον* ἀπιστίας Σύ ἀνάστησον, Σωτήρ,* τήν πρεσβείαν* τοῦ Ἁγίου Σου δεχόμενος.

Καί νῦν. Θεοτοκίον.

Ὅρος νοητόν* ἀρετῆς καί ἁγιότητος* ἐπιγνῶντες Σε, Κυρία τοῦ παντός,* τά ἐλέη Σου τοῖς δούλοις Σου ἐπόμβρησον.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Λύτρωσιν* καί ἐνίσχυσιν, Ἅγιε,* ἐξαπόστειλον, τῷ ἄφρονι βίῳ* τήν τῆς ψυχῆς καί τοῦ σώματος ῥῶσιν*

καταβαλόντα, ἀσθενείᾳ δέ κατακείμενον·* σοῦ δέομαι τοῦ ἀγαθοῦ,* τοῦ νοός παραπτώσεων, σῶσον με.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὁ μανίαν* καί προσβολήν Παραβάτου* ἐκνικήσας, Μάρτυς, τῇ ἀθλήσει,* τήν ἐν σοί ἐνυπάρχουσαν ὄντως* τοῦ Παρακλήτου χάριν, θεσπέσιε,* ἐπέδειξας πᾶσι λαοῖς,* προσομιλήσας πυρί κατακαίοντι.

Δόξα.

Ὑπόκειμαι,* ταῖς τοῦ βίου πάθεσι* τοῖς ἀκαθάρτοις, ἅ μολύνουσιν ὅλως,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* πλήν σαῖς δεήσεσι θείαις ἐλέησον,* τόν προσβολαῖς φθοροποιοῖς* κατατρυχόμενον, Μάρτυς θεσπέσιε.

Καί νῦν. Θεοτοκίον.

Διάσωσον* ψυχήν ἐμήν, Ἀκήρατε,* ἀμαυρότητα παθῶν καταργοῦσα,* ὑπέρ ἐμοῦ τοῦ παντάλαινος δούλου,* τόν Σόν Υἱόν δυσωποῦσα καί Κύριον,* ὅτι μεγίστην πρός Αὐτόν* παῤῥησίαν κρατεῖς, Ἀειπάρθενε.

Διάσωσον* ἀπὸ παθῶν τούς δούλους σου, θεῖε Μάρτυς,* ὅτι πάντες οἱ ἐν δεινοῖς πρὸς σὲ καταφεύγομεν,* ὡς ἔχοντα πρὸς Θεὸν παῤῥησίαν.

Ἄχραντε,* ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως,* ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,* ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Αἰμιλιανοῦ τῇ πρεσβείᾳ, Πολυέλεε,* ἱκεσίαις τε αὐτοῦ καί δεήσεσι* τῷ Σῷ λαῷ ἐπίβλεψον καί σῶσον ἡμᾶς·* ἡμάρτομέν Σοι, Ἀγαθέ,* καί παρoργίζομεν ἀεί,* τήν Σήν ἀγαθότητα·* δέχου τήν μεσιτείαν* τοῦ ἁγίου Σου δούλου,* ἐπικαμπτόμενος, Σωτήρ,* αὐτοῦ ταῖς δεήσεσι.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκε ἡμῖν;*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. ιβ᾿ 8 – 12).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς καὶ τὰς ἀρχάς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τι ἀπολογήσησθε, ἤ τι εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ. β᾿. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Δαιμόνων σκοτόμαιναν* καταβαλὼν θείῳ πόθῳ,* ἀνδρικῶς ἐνήθλησας* θεῖον τῷ Παντάνακτι* ἔχων ἔρωτα·* καὶ ζωῆς κρείττονος* καταξιωμένος,* τοῦ Δουνάβεως τό καύχημα,* ἀπαύστως πρέσβευε,* πάσης συμφορᾶς καὶ κακώσεως,* δεινῆς τε περιστάσεως* καὶ ἐπιβουλῆς τοῦ ἀλάστορος,* ἀτρώτους τηρεῖσθαι* τοὺς μέλποντας τὴν

ἄθλησιν τὴν σήν,* δι’ ἧς Χριστὸν ἐμεγάλυνας,* τὸν σὲ θαυμαστώσαντα.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἐμακρύνθην Σοῦ φόβου* καί εἰς ἀπείρους αἰῶνας μέλλω κολάζεσθαι* καὶ κόπτεσθαι καὶ κλαίειν,* ἀλλά σῶσόν με, Σῶτερ,* τῇ πρεσβείᾳ τοῦ δούλου Σου,* ἵνα Σε πόθῳ ἀνυμνῶ,* εἰς πάντας τοὺς αἰῶνας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἡ χάρις τῶν ἀγώνων,* δι’ ὧν ἡγιάσθης, Μάρτυς μακάριε,* χάριν καὶ εἰρήνην,* παρέχει αὐταδέλφοις,* τοῖς πιστῶς ἀνακράζουσι·* ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς, εὐλογητὸς εἶ.

Δόξα.

Σωτηρίας τὴν τρίβον* εὔθυνόν μοι, Μάρτυς, καὶ καταξίωσον* τὸν ἐλαφρὸν βαστάζειν* ζυγὸν Χριστοῦ Κυρίου,* τοῦ Ῥοδοστόλου ἀγλάϊσμα,* ἵνα τῆς θείας χαρᾶς* ἀξιωθῶ καὶ δόξης.

Καί νῦν. Θεοτοκίον.

Ἴασαι ἀπό νόσων* ἐκλυτρούμενος, Μάρτυς, τῇ προστασίᾳ σου,* σαρκός ἐπαναστάσεις* καταστέλων εὐχαῖς σου* τοῖς ἐκ πόθου κραυγάζουσι·* χαῖρε Παρθένε Ἁγνή,* Μαρτύρων μόνον γέρας.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Σαρκός ἀτάκτου* τῶν ἐπιθέσεων ῥύου* καί διανοίας ἀτάκτων σκιρτημάτων,* ὡς οὐρανόθεν* λαβών ταύτην τήν χάριν.

Δόξα.

Ἁγνείας τείχει* περιτείχισον, ὅπως* ἀντιστῆναι δυνησώμεθα, Μάρτυς,* τοῦ ἀντικειμένου* τά βέλη τά πυρφόρα.

Καί νῦν. Θεοτοκίον.

Ναόν Υἱοῦ Σου* ἀνάδειξον, Κόρη,* τήν ψυχήν τοῦ Σοῦ παντλήμονος δούλου,* τοῦ ἐξανυψοῦντος* πρός Σέ νοός τό ὄμμα.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Τοὺς πόθῳ προσκυνοῦντας* εἰκόναν σου ἁγίαν,* τήν ἐν Σκουζέ τῷ ναῷ σου ὑπάρχουσαν,* τῆς τῶν παθῶν ἀλογίας* πάντας ἀπάλλαξον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὡράϊσον εὐχαῖς σου* ψυχῶν τήν ἀκοσμίαν* καί δυσωδίαν παθῶν ἐξαφάνισον* τῇ εὐωδίᾳ ἀρετῶν* τῶν τοῦ Πνεύματος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Νικήσας ἐν τῷ κόσμῳ* Μάρτυσι συγχορεύεις* καί τῶν Δικαίων τοῖς δήμοις δεόμενος,* ὑπὲρ τῶν πίστει τελούντων* τὴν θείαν μνήμην σου.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἰλύος ἁμαρτίας* κάθαρόν με, Πάτερ,* πρεσβευτικαῖς σοῦ ἀρδείαις, θεότιμε,* καὶ οὐρανόθεν γλυκασμόν* ἐπόμβρησον δέομαι.

Δόξα.

Ὁσίως διανῦσαι,* πάντα μου τὸν βίον,* ἐνίσχυσόν με, Μοισίας τό καύχημα,* ἵνα ζωῆς τῆς ἀλήκτου* τύχω ὁ ἄθλιος.

Καὶ νῦν. Θεοτοκίον.

Ὑψίστου χαῖρε Μῆτερ,* Κεχαριτωμένη,* ἡ τῆς ψυχῆς μου χαρὰ καὶ παράκλησις* καὶ εὐφροσύνη ἁγία* καὶ σωτηρία μου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,* μακαρίζειν Σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβείμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ,* τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Μεγαλυνάρια.

Βίῳ διαπρέψας σεμνοπρεπῆ,* ἤθλησας νομίμως* καὶ καθεῖλες τὸν δυσμενῆ,* Αἰμιλιανέ Μάρτυς* Χριστοῦ ἀγαθοδοῦλε·* διὸ τοῖς σὲ τιμῶσι* δίδου βοήθειαν.

Ὅρμησον τούς δούλους σου οὐρανῷ,* θεότιμε Μάρτυς,* πάντων δέ φάνηθι βοηθός,* τῶν προσερχομένων* τῷ θείῳ σου λειψάνῳ* καὶ ἐπικαλουμένων* τὴν προστασίαν σου.

Ἤνεγκας βασάνους ἐν τῇ σαρκί* ἐμμένων τῇ πίστει,* ὥσπερ ἄσαρκος, Ἀθλητά,* καὶ τῆς ἀνομίας* ἀπέτεμες τὸ κράτος,* ὑπὲρ Χριστοῦ σόν αἷμα* ἐκχύσας, Ἅγιε.

Θρόνῳ παριστάμενος τοῦ Χριστοῦ,* Αἰμιλιανέ μάκαρ,* εὐκλεὴς ὡς ἀγωνιστής,* πρέσβευε ἀπαύστως,* πάσης λυτροῦσθαι βλάβης,* τοὺς προσιόντας, Πάτερ,* σεπτῇ εἰκόνι σου.

Μέγας ἀνεδείχθης τοῖς ἐν τῇ γῇ,* τρισόλβιε Πάτερ,* ἀριστεύσας πνευματικῶς* καὶ τῶν σῶν αἱμάτων* ἐκχύσει ὑπεμφαίνεις* τὴν πρὸς Χριστὸν τελείαν* ἀγάπην, Ἅγιε.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς,* πάσης γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τὴν ἱκεσίαν,* ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοὶ γὰρ πεποίθαμεν·* μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν,* ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σὺ γὰρ εἶ Θεός ἡμῶν* καὶ ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·* Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Ἁγίου καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τούς προσφεύγοντας πιστῶς,* ἐπί τῇ θερμῇ σου πρεσβείᾳ* καί τῇ εἰκόνι, σεπτέ,* ῥύου πάσης θλίψεως καί περιστάσεως·* τῶν παθῶν δέ διάλυσον* τόν σάλον πταιόντων,* ἅπασι προχέων νῦν* χάριν σωτήριον·*

σύ γάρ Ῥοδοστόλου ὑπάρχεις* καί τῆς Ῥουμανίας προστάτης,* ἔνθα τό σόν λείψανον ἀπόκειται.

Ἦχος πλ. δ'.

Δέσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων Σου* καὶ λύτρωσαι ἡμᾶς,* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β'.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς Σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Στίχοι.

*Ματθαῖον θύτην ἀγαθόν σκέπε, Μάρτυς,*
*Τόν πόθῳ σῷ αἰτήσαντα τόν ὕμνον τοῦτον.*
*Τόν σύραντα δέ πτωχάς γραμμάς ἱκετηρίους,*
*Δός, Ἀγαθέ, μετάνοιαν καί σωφροσύνην βίου.*


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ